A Τῷ δὲ τῷ Κηφισοδήμῳ τῷ λάλῳ ξυνηγόρῳ.
Ὥστ' ἐγὼ μὲν ἠλέησα, κἀπομορξάμην ἰδὼν,
Ἄνδρα πρεσβύτην ὑπ' ἀνδρὸς τοξότου κυκώμενον.
Ὃς μὰ τὴν Δήμητρ' ἐκεῖνος ἡνίκ' ἦν Θουκυδίδης,
Οὐδ' ἂν αὐτὴν τὴν Ἀχαιὰν ῥᾳδίως ἠνέσχετο,
B Ἀλλὰ κατεπάλαισε μὲν ἂν πρῶτον Εὐάθλους δέκα.
Κατεβόησε δ' ἂν κεκραγὼς τοξότας τρισχιλίους,
Περιετόξευσε δ' ἂν αὐτοῦ τοῦ πατρὸς τοὺς ξυγγενεῖς.
Ἀλλ' ἐπειδὴ τοὺς γέροντας οὐκ ἐᾶθ' ὕπνου τυχεῖν,
C Ψηφίσασθε χωρὶς εἶναι τὰς γραφὰς, ὅπως ἂν ᾖ
Τῷ γέροντι μὲν γέρων καὶ νωδὸς ὁ ξυνήγορος.
Τοῖς νέοισι δ' εὐρύπρωκτος καὶ λάλος χὠ Κλεινίου
Κἀξελαύνειν χρὴ τὸ λοιπόν. κἂν φύγῃ τις, ζημιοῦν
Τὸν γέροντα τῷ γέροντι, τὸν νέον δὲ τῷ νέῳ.

*Cum suo Cephisodemo causidico loquaculo.*
*Ego certè misertus sum, & lacrymas abstersi: cùm virum*
*Grandæuum viderem vexari à lictore pessimo;*
*Qui, quando ille adhuc erat Thucydides, ita me Ceres*
*Adamet, ne quidem ipsam Achæam sustinuisset commodè.*
*Sed prima statim lucta vicisset Euathlos decem,*
*Et clamando superasset ter mille ministros publicos,*
*Tum patris cognatos fixisset sagittis vndique.*
*Quia verò vos non sinitis dormire nos senes: age*
*Decernite, iudicia vt seiungantur, & posthac seni*
*Patronus senex, edentulus, iuueni iuuenis fiet,*
*Garrulus, lati ani: qualis est hic gnatus Cliniæ.*
*Quin etiam hinc expellere oportet, & si fugiat quispiam,*
*Multare: atque isthuc iuuenem à iuuene, & senem à sene perpeti.*

D Σχόλια. Τῷ γὰρ εἰκός.] πῶς δίκαιόν ἐστι ἄνδρα γεγηρακότα ἀντιπολιτευσάμενον Περικλεῖ, ἀπολείπεσθαι συμπλακέντα ἀγριότητι. τοῦτο γὰρ δηλοῖ ἡ Σκυθῶν ἐρημία, λέγει δὲ ἀγριότητα. ἔστι δὲ ὁ Θουκυδίδης Μελησίου παῖς ἦν. γεγόνασι δὲ δ'. ὁ Ἱστορικός. ὁ Γαργήττιος. ὁ Θετταλός. ὁ Μελησίου υἱός. Σκυθῶν ἐρημία.] ἐπεὶ θηριώδεις αἱ ἐρημίαι τῶν Σκυθῶν, ἀντὶ τοῦ ὀλέθρῳ καὶ κακοῖς συμπλακέντα. τοῦτο δὲ λέγει ὅτι οἱ Σκύθαι ἄοικοι ὄντες, καὶ ἐπὶ τῶν ἁμαξῶν φερόμενοι, αἴτιοι ἑαυτοῖς ὀλέθρου γίνονται. ἔστι δὲ παροιμία ἡ Σκυθῶν ἐρημία, τουτέστιν ἔρημον ὄντα. Κηφισοδήμῳ.] ἔστιν θρασὺς καὶ δεινὸς πρὸς τὰς δίκας. Ἀθηναῖος δὲ καὶ ἔστιν. E Κἀπομορξάμην.] ἐκ παρακολουθοῦντος. παρέπεται γὰρ τοῦτο τοῖς δακρύουσιν.

BISETVS. Γέγραπται κἀπομορξάμην, καὶ κἀπεμορξάμην. ἀμφότερα δὲ καλῶς ἔχει. καὶ γὰρ τὸ μὲν πρότερον ἄνευ αὐξήσεως συλλαβικῆς, τὸ δὲ δεύτερον μετὰ συνήθους αὐξήσεως.

Σχόλια. Ὑπ' ἀνδρὸς τοξότου.] ἀντὶ τοῦ ὑπηρέτου δημοσίου ἐπὸ τοῦ καλουμένου. Ὃς μὰ τὴν Δήμητρα.] ὅστις πρεσβύτης ὑπὸ τοῦ τοξότου βλαπτόμενος, οὐδὲ τῆς Δήμητρος ἠνέσχετο ἡνίκα ἦν νέος. F Ἀχαιὰν δὲ, τὴν Δήμητρα ἐκάλουν, ἀπὸ τοῦ κτύπου τῶν κυμβάλων καὶ τυμπάνων, τοῦ γινομένου κατὰ ζήτησιν τῆς κόρης. ἢ ἀπὸ τοῦ ἤχου ὃν παρεῖχον ἐν τοῖς περὶ τὴν γέφυραν εἰς Ἀθήνας ἀπιοῦσιν. ἢ ἀπὸ τοῦ περὶ τὴν θυγατέρα ἄχους. ὁ δὲ νοῦς. ἡνίκα ἂν Θουκυδίδης, οὐχ ὅπως τοξότην ἠνέσχετο ἂν καταβοᾶν αὐτοῦ, ἀλλ' οὐδὲ τὴν Ἀχαιὰν αὐτήν. Εὐάθλους δέκα.] ἔστιν ὁ Εὔαθλος ῥήτωρ πονηρός. Ἀριστοφάνης ἐν Ὁλκάσιν.

Ἔστι τις πονηρὸς ἡμῖν τοξότης,
Συνήγορος ὥσπερ παρ' ἡμῖν τοῖς νέοις.

ἦν δὲ καὶ εὐρύπρωκτος καὶ λάλος. εἴη δ' ἂν καὶ ἀγεννής. διὸ καὶ τοξότην αὐτὸν καλεῖ, οἷον ὑπηρέτην. διεβάλλετο γὰρ ἡ τοξεία ὡς εὐτελής. καὶ Σοφοκλῆς,

Ὁ τοξότης ἔοικεν οὐ σμικρὰ φρονεῖν.

ἀλλ' ἔνδοξον τοῦτον δεῖξαι βουλόμενός φησιν. οὐ γὰρ βάναυσον τὴν τέχνην ἐκτησάμην. αὐτοῦ δὲ τοῦ πατρὸς, τοῦ Εὐάθλου.

BISETVS. Εὐριπίδης ἐν Ἡρακλεῖ μαινομένῳ τὰ τόξα, καὶ τοὺς τοξότας οὕτω ψέγει,

Ὃς οὔποτ' ἀσπίδ' ἔσχε πρὸς λαιᾷ χερὶ,
Οὐδ' ἦλθε λόγχης ἐγγὺς, ἀλλὰ τόξ' ἔχων,
Κάκιστον ὅπλον, τῇ φυγῇ πρόχειρος ἦν.
Ἀνδρὸς δ' ἔλεγχος, οὐχὶ τόξ' εὐψυχίας,
Ἀλλ' ὃς μένων βλέπει τε, κἀντιδέρκεται
Δορὸς ταχείας ἄλοκα, τάξιν ἐμβεβώς.

Σχόλια. Ὅπως ἂν ᾖ τῷ γέροντι.] ἵνα παντελῶς οἱ νέοι τῶν γερόντων κεχωρισμένοι ὦσιν. νωδὸς δὲ, ὁ μὴ ἔχων ὀδόντας ὑπὸ γήρως. Χὠ Κλεινίου.] Ἀλκιβιάδην τὸν Κλεινίου ὡς καταπύγωνα κωμῳδοῦσιν. Κἀξελαύνειν χρή.] κἂν ἐξελαύνειν δέῃ. κἂν φύγῃ ζημιοῦν, ὑπὸ τοῦ γέροντος τοῦτο πάσχειν τὸν γέροντα.

G

## ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΤΡΙΤΟΥ
Σκηνὴ πρώτη.

ΔΙΚΑΙΟΠΟΛΙΣ ΜΟΝΟΣ.

## ACTVS III. SCENA prima.

DICÆOPOLIS SOLVS.